ἐπειδὴ ταῦ(τα) ἠκούσατε παρ᾽ ἡμῶν, Ἐλευσίνοθεν εἰς Θήβας ἐπορεύεσθε· οὕτως δὲ πρὸς ἀλλήλους οἰκείως κ̣αὶ φιλανθρώπως διετέθητε, ὥ̣στ᾽ ἐκεῖνοι μὲν εἰσεληλυθότες αὐτοὶ εἰς τὴν πόλιν καὶ εἰς τὰς οἰκίας ἐ̣π̣ὶ παῖδας καὶ γυναῖκας τὸ στρατόπεδον ὑ̣μῶν ὑπεδέξαντο· ὑμεῖς δὲ οὐδέν πω παρ᾽ ἐκείνων εἰληφότες βέβαιον, τὴν δύναμιν ἐκεῖσε Φιλίππου πλησίον ὄντ(ος) ἀπεστείλατε· καὶ τότε μὲν ὁ Φίλιππ(ος) ἀπίων ᾤχετο οὐδὲν ὧν ἠβούλετο διαπραξάμενος· ἡμεῖς δὲ καὶ Θηβαῖοι ἐπανελθόντες τάχιστα τὰς συμμαχίας ἐπεκυρώσαμεν. ἡλίκον δ᾽ ἦν τὸ ποιήσασθαι τότε πρὸς Θηβαίους τὴν συμμαχίαν ἐκεῖθεν εἴσεσθε· ἀναγκαῖον γὰρ ἦν τοὺς Θηβαίους τρία μὲν ποιῆσαι, ἢ μετὰ Φιλίππου γενέσθαι, ἢ μεθ᾽ ἡμῶν, ἢ μηδὲ μεθ᾽ ἑτέρων. Φιλίππῳ μὲν τοίνυν προσθέμενοι μετ᾽ ἐκείνου ἂν εἰς τὴν χώραν ἡμῶν ἐπορεύοντο, ἡσυχίαν δ᾽ ἐχόντων αὐτῶν ἡμεῖς ἂ̣ν̣ μόνοι ἐν τῆι ἡμετέρᾳ χώρᾳ πρὸς Φίλιππον διηγωνιζόμεθα, μεθ᾽ ἡμῶν δὲ γενομένων αὐτῶν ἐν τῇ Θηβαίων μετ᾽ ἐκείνων διεκινδυνεύσαμεν· καὶ τούτων τῶν τριῶν σκέψασθε τί ἦν [π]αρ᾽ ὑ̣μ̣[ῖν] γεγενημένον. ἡδέως δ᾽ ἂν ἔγωγε πυθοίμην καὶ αὐτοῦ τοῦ κατηγόρου πότερα κ(αὶ) τῆι πόλει καὶ τοῖς Ἕλλησιν ἐδόκει κατὰ τοὺς καιροὺς ἐκείνους συμφέρειν ἡ Θηβαίων συμμαχία ἢ οὔ. εἰ δὲ τοῦτο παρὰ πάντων ὁμολογεῖται, τίνες αἴτιοι τούτων γεγένηνται; ἐγὼ δ᾽ ἐρῶ· πρῶτον μὲν ὁ δῆμ(ος) ὁ Ἀθηναίων ὁ παρακα̣λ̣έ̣σ̣α̣ς ἐπὶ ταῦτα, ἔπειτα τῶν ἰδιωτῶν εἴ τις π̣ε̣ι̣σ̣θ̣ε̣ὶ̣ς̣ σ̣υ̣ν̣ηγωνίζετο· οὐδεὶς τοίνυν φανήσετα(ι) παρὰ ταῦτα ἡμῶν προθυμότερος γεγονώς. εἰ δὲ τῶ(ν) περὶ τ(ὴν) μάχην, ὦ ἄνδρες δικασταί, ἐσφάλητε, οὐδὲν θαυ-

**1** Testimonia ad or. pertinentia Dem. XVIII,222; Vit. X or. 848F et 846A. μηνύω καὐτὸς Ὑπερείδην τὸν καλόν, πολλὰ παρὰ Δημοσθένους κεκλοφότα, ἔν τε τῷ πρὸς Διώνδαν λόγῳ κἀν τῷ περὶ τῶν Εὐβούλου δωρεῶν. καὶ ὅτι μὲν ὁ ἕτερος παρὰ τοῦ ἑτέρου μετέθηκε, πρόδηλον· συγχρονούντων δ᾽ αὐτῶν, ἡμῶν μὲν ἂν εἴη ἔργον, φησίν, ὦ Ἀπολλώνιε, ἐκ τῶν χρόνων ἀνιχνεῦσαι τὸν κλέπτην. ἐγὼ δὲ ὑποπτεύω μὲν τὸν ὑφῃρημένον εἶναι τὸν Ὑπερείδην, ἀδήλου δὲ ὄντος ὁπότερος, ἄγαμαι μὲν Δημοσθένην, εἰ λαβὼν παρὰ Ὑπερείδου πρὸς δέον διώρθωσε, μέμφομαι δὲ τὸν Ὑπερείδην, εἰ λαβὼν παρὰ Δημοσθένους πρὸς τὸ χεῖρον διέτρεψεν. Euseb. praepar. evang. X,3,14-15 (I 564 Mras) ex Porphyrio, qui de or. De Corona Demosthenis dicere videtur, quod magni momenti ad argumentum restituendum est. (ὅθ᾽ ἡ μεγάλη μάχη πρὸς Λακεδαιμονίους ἐγένετο ἡ ἐν Κορίνθῳ): περὶ ταύτης τῆς μάχης Ὑπερείδης εἴρηκεν ἐν τῷ πρὸς Διώνδαν. schol. ad Dem. XX,52, cf. 136r 30-31 **1** cf. Dem. XVIII,215 **6** 1sqq cf. Dem. XVIII,215 **15** 14 sq. cf. Dem. XVIII,213 **21** ἡδέως δ᾽ ἂν cf. Dem. XVIII,64, 66, 69 **24** 23 sq. cf. Dem. XVIII,190 **28** cf. Dem. XVIII,189

**4** εἰς τὰς οἰκίας |ἐπὶ παῖδας καὶ γυναῖκας cf. Dem. XVIII,215 **11** Handley **13** coni. Handley **14** ΓΕΝΕΣΘΕ **15** μὲν τοίνυν ita Handley **17** μόνοι prob. Handley **18** διη- Handley **21** τί ἦν ἄρ᾽ οὖν antea : τί ἦν - <ἦν>γὰρ οὕ(τω) - τὸ vel τί ἦν ἄρ᾽ οὕ(τω) τ(ὸ)Handley : τί ἦν ἄρ᾽ ὄντως

διὰ τῶν ὑμετέρων κινδύνων ὥσπε[ρ] καὶ πρότερον τοὺς Ἕλληνας ἐλευθερῶσαι. δεῖ δὲ τῶν κινδύνων πάντων τὰς μὲν ἀρχὰς καὶ τὰς ὑποθέσεις εἰς τοὺς πράττοντας ἀναφέρειν, τὰ δ᾽ ἐκ τούτων ἀποβαίνον(τα) εἰ(ς) τὴν τύχην. Διώνδας δὲ τοὐναντίον ἀξιοῖ γενέσθαι· μὴ Δημοσθένην τῆς προαιρέσεως ἕνεκα ἐπαινεῖσθαι, ἀλλ᾽ ἐμὲ τῆς τύχης ἕνεκα εὐθύν(ας) δοῦναι. καίτοι εἴ τις πρὸ τοῦ καθαιρεθῆναι τ(ὴν) στήλην τὴν Θηβαίοις πρὸς Φίλιππον ἑστηκυῖαν ἐπηγγέλλετο Φιλίππωι μὲν Θηβαίους πείσειν πολεμεῖν, ἡμῖν δὲ συμμάχους εἶναι, ἀντεῖπέ τις αὐτὸν ἐπαινέσαι, ἄλλ᾽ οὐκ ἂν τὰς μεγίστας δωρεὰς τῶι ταῦτα πράξαντι δοῦναι; εἶτ᾽ οὐ δεινόν ἐστιν πρὸ μὲν τοῦ τυχεῖν τούτων οὐδὲν ὅ τι οὐκ ἂν τῷ ἐπαγγελλομένωι ὑποσχέσθαι, ἐπεὶ δ᾽ ἐπράχθη, ἀχαρίστους φαίνεσθαι ὄντας ; καὶ μὴν κἀκεῖν(ο) σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ παρὰ Φιλίππωι συλληφθέντες ἡμεῖς ἐκρινόμεθα, τί ἂν ἡμῶ(ν) κατηγόρει; οὐχ ὅτι [Β]υζάντιον μὲν αὐτὸν ἐκωλύσαμεν λαβεῖν, τὴν δ᾽ Εὔβοιαν ἀπεστήσαμεν, τὴν δὲ πρὸς Θηβαίους ὑπάρχουσαν αὐτῶι συμμαχίαν καθείλομεν, ὑμῖν δὲ συμμάχους ἐποιήσαμεν Ἰž τί δ᾽ ἀν<τ>επάθομεν ἂν ὑπ᾽ ἐκείνου; ἆρ᾽ οὐκ ἂν ἀπεθάνομεν; ἐγὼ μὲν οἶμαι. εἶτ᾽ οὐ δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ὑπὲρ τῶν αὐτῶν ἡμᾶς δεήσει πρὸς τοὺς ἀντιπάλους καὶ πρὸς ὑμᾶς κινδυνεύειν; καὶ Φίλιππος μὲν τοὺς ὑπὲρ αὐτοῦ τι καθ᾽ ἡμῶν πράξαν(τας) οὐ μόνον αὐτὸς ἐτίμησεν ἀλλὰ καὶ παρ᾽ ἡμῖν ἔσπευσεν ὅπως τιμηθῶσιν - καί εἰσι πρόξενοι ἀναγεγραμμένοι - ἡμεῖς δὲ οὐδὲ ἃς παρ᾽ ἡμῖν αὐτοῖς ἔδομεν τιμὰς κυρίας ἐάσομεν εἶναι. ἀλλ᾽ οὐ προσήκει ὑμῖν, ὦ ἄνδρες δικασταί, τοιούτους εἶναι

**5** cf. Dem. XVIII,194, 300 **11** ἀντεῖπε cf. Dem. XVIII,122 **12** ἐπαινέσαι cf. Dem. XVIII,84 et 118 **19** 19 sqq. cf. Dem. XVIII,301sq. **30** 3o sq. cf. Dem. XX,96 τὰς δωρειὰς ὅσας ὁ δῆμος ἔδωκε κυρίας εἶναι et schol. ad loc. (ὅθ᾽ ἡ μεγάλη μάχη πρὸς Λακεδαιμονίους ἐγένετο ἡ ἐν Κορίνθῳ) : περὶ ταύτης τῆς μάχης Ὑπερείδης εἴρηκεν ἐν τῷ πρὸς Διώνδαν.

**10** ἐπήγγειλε τὸ sec. lect. cod., sed cf. v. 15: ἐπηγγείλατο Handley **11** ἀντεῖ|πεν ἄν τις Handley. |ἀλλ᾽ οὐκ ἂν antea : ἀλλὰ κἀν PEE **12** ἀλλ᾽ οὐκ ἂν probavit Maehler ἀλλ᾽ οὐκ ἂν (scil. εἶπε): ἀλλὰ κἂν PEE **14** ἄΝ ΠΩ} in fine v. : τῶι |ἐπαγγελλομένωι Handley : fortasse προ|επαγγελλομένωι vel τῷ προ|επαγγελλομένωι coll. v. 8 atque 10 **16** Handley **22** Handley **22** ἂΝ cod. : ἀν|τεπάθομεν Handley **31** κυρίας e μυρίας corr. in cod. **32** τοιούτους vel τοιούτοις Tchern. Handley

ὅστις ὑπὲρ τῆς πόλεως τῆς ἡμετέρας τὰ βέλτιστα συμβουλεύσει.κ̣αὶ ταῦτα μὲν οὔ φησιν Διώνδας παράνομα εἶναι, ἐγὼ δὲ κ̣ρί̣νομαι περὶ ὧν ὑμεῖς πρότερον ἐγνώκατε. καίτοι, ὦ ἄνδρες δικασταί, ὥσπερ τοὺς γράφοντας οἴεσθε δεῖν κολάζειν, ἐάν τις ἀσύμφορόν τι τῶι δήμῳ γράφηι, οὕτως καὶ τοὺς τὰς γραφὰς γραφομένους ἐξετάζετε· οὐκ ἔλαττον γάρ ἐστιν ἀδίκημ[α] τὸ τὰ τῶι δήμωι συμφέροντα ἐμποδίζειν γραφὰς ἐνιστάν(τα) τοῦ τὰ παράνομα γράφειν. Διώνδας δ̣ὲ̣ ν̣ῦ̣ν̣ ἐν πεντήκοντα γραφαῖ̣ς, ἃς ἐγράψατο, κατὰ μὲν τῶ(ν) ὑπὲρ Φιλίππου πολιτευομένων οὐδεμίαν πώποτε γραφὴν ἀπήνεγκεν, ἀλλ' οὐδὲ λόγωι ἐβλασφήμησεν οὐδὲ περ̣ὶ ἑνὸς αὐτῶν, τοῖς δὲ τἀναντία ἐκείνωι πολιτευομένοις λοιδορούμεν(ος) διατελεῖ ἐπὶ πάντων τῶν ἀγώνων. ἐγράψατο δὲ Χαρίδημον μέν, ὃν νῦν ἐγκωμιάζει μὴ ποιεῖν ἐφ' οἷς ἔλαβεν τὴν δωρεὰ̣ν̣ τ̣ο̣ῦ̣ [δήμ]ο̣υ̣, βουλόμενος διαπράξασθαι [οὐδὲν ὧν ἐ]δ̣[ίωκ]ε̣ν̣ [ἠ]δ̣ι̣κ̣η̣κ̣ό̣τ̣α̣. Λυκοῦρ(γον) δὲ οὐ μόνον παρανόμω̣ν̣ ἐδίωξεν, ἀλλὰ καὶ ἀσεβείας πρὸς τὸν β̣α̣σιλέα. Δημοσθένη τε πλείους ἢ πέντε καὶ δέκα γραφὰς ἐγράψατο, κατ' ἐμοῦ δὲ τρεῖς τῆ̣ι̣ αὐτῆ̣ι̣ ἡμέρα̣ι̣ ἀ̣π̣ήνεγκ̣ε̣ν̣. καὶ νῦν εἰς τοῦτο ἀναιδείας ἐλήλυθεν, ὥστε ο̣ὐ̣κ̣ ἐᾶι ὑμᾶς χρῆσθαι ο̣ὔ̣τ̣ε̣ ο̣ἷ̣ς ὁ δῆμ(ος) ὁμογνώμων ἐγένετο, ο̣ὓ̣ς ἐγὼ προεβ̣ο̣ύ̣λευσα̣, οὔτε τῆι τοῦ δικαστηρίου γνώ̣σει, πρὸς δ̣ὲ̣ τούτ̣ο̣[ι]ς οὐδ' ὑπὲρ τοῦ καιροῦ ἀκούειν λέγοντ(ος) ο̣ὗ̣ χ̣ω̣ρ̣ὶ̣ς̣ οὐδὲ̣ν τῶν πάντ(ων) χρήσιμόν ἐστιν. κ̣α̣ί̣τ̣ο̣ι̣ π̣ῶς οὐ δ̣εινόν, εἰ τοῖς μὲν νῦν κατὰ τῆς π[όλ]εως ὀνείδη̣ γράφουσιν ἔξεστι̣ν̣ τὸ τοῦ καιροῦ ὄνομα̣ πολλάκις λέγο̣υ̣σιν γράφειν, ὅ τι ἂν ἡγῶνται [Ἀ]λεξάνδρωι χαριεῖσθαι, τοῖς δ' ὑπὲρ τῆς πόλεως̣ τότε τὰ συμφέρον(τα) τῶι δήμωι

**17** Χαρίδημος cf. LGPN II s.v. no. ... PA 15380 et Dem. XXIII **18** βουλόμενος διαπράξασθαι cf. Dem. XXIII,137 **20** ἐδίωξεν cf. ἀπὸ δὲ τοῦ φυγὴ φυγὰς φεύγειν φυγαδευθῆναι διωχθῆναι (Ὑπερείδης δέ που (fr. 238 Jn.) καὶ ἐξεδιώχθη λέγει, καὶ Δείναρχος (fr. 16 Tur.) ἐδίωξεν), ὑπερορισθῆναι, ἐκπεσεῖν. Poll. VIII,70 **25** ὁμογνώμων cf. Dem. LIX,2 X,75 et Lys. XXVIII,17 **26** οὓς ... προεβούλευσα cf. Aeschin. II,58 et Xen. Cyr. VIII,7,9 **27** 26 sq. cf or. III. col. XXIV,13-23 **29** 28 sqq. cf. or. IV. col. V,21sqq. et fr. VIII,8sq. et or. I. col. XIV,11 **31** τὸ τοῦ καιροῦ ὄνομα cf. Dem. XVIII,190 et 212 **32** cf. D.S. XVII,41,8 Arrian. IV,8,6

**1** Handley **9** γραφὰς ἐνιστάντα insolitum, ut videtur **22** ΕΙΠΕΝ **24** ἐ|ᾶι structuramque sententiae rest. Handley **27** ὑπὲρ coni. Handley **28** vestigia valde incerta **32** coni. Handley

πεπολιτευμένοις εἰ μηδὲ τῶν χρόνων ἔστιν ἐκείνω(ν) μνησθῆναι. ἐγὼ δ᾽ ἐβουλόμη[ν] ἄν, ὦ ἄνδρες δικασταί, ὥσπερ χρήσιμός ἐστιν ὁ καιρός, οὕτως ῥάιδιον αὐτὸν ὑμῖν συνιδεῖν εἶναι, καὶ ἡγοῦμαι προσήκει(ν) τοὐναντίον ἢ Διώνδας, ὃς λέγει ὀργὴν ἄκαιρον κ(αὶ) τ̣οὺς κρινομένους ἀναιρεῖν, οὐκ ἀπολογίας, κατηγορεῖν εἰς καιρὸν ἀναφερόμενος ἐ̣γ̣γ̣ωσμέν(ο̣ν̣). ν̣ῦν εἰκότως Διώνδας τὸν καιρὸν ἀποδοκιμάζει οὐδὲν αὐτὸ(ς) ἐν καιρῶι πράττων, ὅ̣σ̣π̣ε̣ρ̣ ἐμ̣οῦ κατηγορεῖ ὡς οὐκ ἴση ἡ συμμαχί(α) ἐγένετο, κ̣α̣ὶ̣ ἡμεῖς Θηβαίων διπλάσια συνεβαλόμεθα εἰς τὸν πόλεμον καὶ χρήμα(τα) καὶ ἵππους καὶ στρατιώτ(ας). εἰς δὲ τὴν ἐν Σαλαμῖνι ναυμαχία(ν), ὦ Διώνδα, ἑξήκον(τα) καὶ τριακοσίων οὐσῶ(ν) τῶν τριήρων τ(ῶν) Ἑλληνίδων, τούτων ἡ πόλις ἡ ἡμετέρα διακοσίας καὶ εἴκοσι παρέσχεν καὶ τἀναλώμα(τα) εἰς ταύτας, αἱ δ᾽ ἄλλαι πόλεις σ̣ύ̣μ̣π̣α̣σ̣α̣ι̣ τετταράκον(τα) καὶ ἑκατόν. ἐν Μαραθῶνι δ᾽ οἱ πρόγονοι οἱ ἡμέτεροι αὐτοὶ μόνοι ὑπὲρ ἁπάντων τῶν Ἑλλήνων ἐμαχέσαντο· τῆς δ᾽ ἐπ᾽ Ἀρτεμισίωι στρατείας οὐδὲ τὸ πέμπτον μέρος τῶν τριήρων οἱ ἄ̣λ̣λ̣ο̣ι̣ Ἕ̣λ̣λ̣ηνες συνεβάλοντο. τοῦτο γ̣ὰ̣ρ̣ πρὸς τοῖς ἄλλ[οις] ἡ πόλις ἡμῶν ἔχει ἀγαθο̣ῖ̣ς̣· ο̣ὐ̣ φιλον{ε}ικεῖ ἐ̣ν̣ τ̣[οῖ]ς τ̣ο̣ι̣ούτοις καιροῖς, ὅπως ταὐτὰ ἕκαστο̣ι̣ σ̣υ̣μ̣β̣α̣λ̣ο̣ῦ̣ν̣τ̣α̣ι̣, ἀλλὰ τὰ μὲν διδόμενα πα̣ρ᾽ ἑκάστω̣ν̣ [λαβο]ῦσα καὶ τοῦ ὅλου ἡγεμὼν γενομένη πολ̣έ̣μ̣ο̣υ̣ δ̣έδωκε τὰ ὑπάρχον(τ̣α̣) αὐτῆι πάν(τα) εἰς τὴν κοινὴ̣ν̣ τῶν Ἑλλήνων σωτηρίαν. [τ]ο̣ι̣γ̣α̣ρ[ο]ῦ̣ν̣ ὅ[ποτετῶν] ἄ̣λλω̣ν κατωρθώθη [π]ά̣[ν](τα) τ̣ί̣μ̣α̣ς̣ κα̣ὶ̣ δ̣ό̣ξ̣α̣ς̣ ἐ̣ξ̣ αὐτῶν μεγίστ̣α̣ς εἴληφεν, καὶ τὴν ἡγεμονί̣α̣ν̣ τότε ἤδη παρ᾽ ἑκόντων τῶν Ἑλλήνων εἰκότως ἐλάβ̣ο̣μεν.

Διώνδας δὲ νῦν μὲν οὐκ ἀ̣γ̣α̣ν̣α̣κ̣τεῖ εἰ ὑπὲρ τ̣οῦ

**9** 9 sqq. cf. Dem. XVIII,237-238 **12** 12 sqq. ad bella Persica cf. Dem. XVIII,208 **15** 12 sqq. ad bella Persica cf. Dem. XVIII,208 **23** cf. Isocr. XV,19 **29** τίμας καὶ δόξας μεγίστας cf. Dem. XVIII,108 et 94

**4** ΣΥΝΕΙΔΕΙΝ **7** fortasse δ᾽ ante εἰς excidit **17** σύμπασαι Austin coll. Isocr. IV,98 et XII,50 **22** γὰρ prop. Handley, quod lect. corroborat **28** coni. Handley **28** 28 sq. sententia perspicua ipsa verba autem incerta sunt. ὅταν τῶν ἄλλων κατορθώθη τὰ πράγμαρα vel simile requiritur **32** 32 sqq. cum vestigia litt. valde incerta sint, sententiam hoc modo restitui: Diondas, adulator Macedonum, sicut eum orator describit, munera exsolvenda libenter suscipit eaque Athenienses sua sponte et ultro offerre hortatur. Exemplum de foedere cum Thebanis atque de bello adversus Philippum capit, quod Hyperide et Demosthene ducibus Athenienses pro libertate Graecorum antea fecerunt gesseruntque.

ἑ̣τ̣έ̣ρ̣ω̣ι̣ ἀ̣κ̣ο̣λ̣ουθεῖν δ̣ι̣π̣λ̣ᾶ̣ς τ̣ρ̣ι̣[ή]ρεις [...] ο̣[...] [...] . ω̣ σ̣ ε̣ ι̣., ἀλλὰ κ̣α̣ὶ̣ γράφει α̣φ̣ . α̣υ̣[...]..[κ]α̣[ί] φησ̣ι̣ εἶν[αι] δεινὸν εἰ ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας πλε̣ι̣ω̣ προθυμί(αν) Ἀθηναῖο̣ι̣ Θηβαίων π̣α̣ρέσχοντο. [ὡς] ἄ̣[ν], εἴ γε τὰ περὶ τὴν̣ μάχην κ̣ατω̣[ρ]θ[ώ]θ̣η, πάντες ἀνελογίζοντο ὅτι καὶ τὸ̣ν̣ πόλε̣μ̣ο̣ν̣ τὸ̣ν π̣ρὸς Φίλιππον π̣[ο]λλὰ ἔτη ἡ̣ πόλι̣ς αὐτὴ μόνη ὑ̣π̣ὲ̣ρ ἀπά̣ν̣των ἐπολέμησε̣ν̣ καὶ Β̣υ̣ζάντιον διέσωσ̣εν τοῖς αὐτοῖς τέλεσι καὶ μηδ̣' ἓ̣ν̣ παρακ̣α̣λ̣έσαντες ἐπ̣ὶ̣ τῶν ἀγώνω̣ν̣ τὰ πλ̣ε̣ῖστα συμβαλ̣ό̣μεν̣ο̣ι̣ Ἀθηνα̣ῖ̣οι ἦσαν, ὥσ̣τ̣[ε] αὐτ̣ὰ̣ τ̣α̣ῦ̣[(τα)] τ̣ὰ̣ ἆθλα̣ ὑ̣μῖν ἐξ αὐτῶν μ̣έγισ(τα) εἶναι. πρὸς δὲ τ̣ού[τ]ο̣ι̣ς, ὦ ἄνδρες δικ̣ασ̣τ̣α̣ί̣, [δ]ε̣ῖ̣ σκ̣έ̣ψ̣α̣σθαι ἐπ̣ὶ τῆς ἀληθε̣ί̣ας τίν' ἦ̣[ν] ἑ̣κ̣ατέ̣ροις ὑ̣μῶν τ̣ὰ̣ π[ρ]ο̣[σ]όν̣(τα) πρὸς Φ̣ί̣λιππον· Θηβαίοις μὲν εἰρήνη καὶ σ̣υ̣μμαχία, ὑμ̣ῖν δὲ πόλεμος· το̣ύ̣τ̣ο̣υ̣ μετασχεῖν ἡ̣μ̣ε̣ῖ̣ς̣ [ἠ]ξιώσαμεν, ὃ̣ν̣ ἀνάγκη ἦν, εἰ μὴ ἐκεῖνοι μετ̣εβάλ̣ο̣ντο α̣ὐτοὺς μόνους [πο]λεμεῖν κ̣α̣[ὶ πάντα τἀναλώμα(τα)] ἀναλίσκειν κ̣α̣ὶ̣ δια̣κινδυνεύειν ἐν τῆι ἡμετέρα̣ι̣ χώραι· τούτων δὲ τοιούτων ὑπαρχόντων καὶ Φιλίππου ἐπ̣ὶ̣ τῶν ὁ̣ρ̣ί̣ων τῆς Β̣οιω̣τία̣ς̣ ὄ̣ν̣τ(ος), πότερ(ον) ἔδει ἡμᾶς τὴν δύνα̣μιν τὴν Θηβ̣αίων προσλαβεῖν καὶ τὴν χώραν καὶ τῶ̣ν ἀναλωμ̣άτων ἃ ἑκόντες συνε̣βάλοντο, ἢ πρὸς πάν(τα) ἐρίζο̣ντας καὶ ἀγνωμονοῦ̣ντ(ας) αὐτοὺς μόνους προελέσθαι ἀγω̣ν̣ίζεσθ(αι); καὶ νῦν γε, ὦ ἄνδρες Ἀθηναῖοι, πολλ̣ο̣ὶ̣ Θηβ̣αίω̣ν̣ ἀκροῶνται ἐν τ̣ῶ̣ι̣ δι̣καστηρίωι̣ σχ̣ο̣λὴν ἄγοντες ὡ̣ς οὐκ ἂν ἐβουλόμην οἵ, ἐὰν μ̣ὲν ἀ̣πολύσητε̣ τοῦτον τὸν ἀ̣γῶνα, ὑπολήψονται τὸν μὲν κατήγορον ἀ̣πό̣πληκτον εἶναι καὶ μαινόμενο̣ν̣, ὑ̣μᾶς δὲ ἐ̣π̣ὶ̣ τῶν αὐτῶ̣ν μένειν, ὡς προσῆκεν ὑμῖν· ἐὰ̣ν̣ δὲ καταγ̣νῶτε, π̣ῶς οὐκ ἂ̣ν δικαίως ἐγκαλ̣έ̣σ̣α̣ι̣ε̣(ν̣) ὑ̣μῖν, εἰ ἐπὶ τὰ αὐ(τὰ) παρεκ̣αλέσατε α̣ὐ̣τ̣ο̣ύ̣ς̣, ἐφ' ο̣ἷ̣ς̣

**1** ἑτέροις ἀκολουθεῖν cf. Dem. XVII,30 **3** εἶναι δεινὸν cf. Dem. XIX,7 **4** cf. Dem. I,8 **5** ἀνελο|γίζοντο cf. or. IV col.II,22 **12** 12 sq. cf. 136v 21 |δεῖ σκέψασθαι cf. Isocr. ep. VI,8 **14** cf. Aeschin. III,54 et 60; II,67 et 137 D.H. ad Amm. 11 **15** cf. fr. 71 Jn. **20** cf. Dem. XVIII,230 **27** ἀπολύσητε cf. or. III col. XLVII,17 **28** ἀ|πόπληκτον ... μαινομένον cf. Dem. XXXIV,16 et XVIII,249 **31** ἐγκαλέσαιεν cf. Dem. XIX,133

**1** 1 sq. ἀναγκαζόμεθα |ἀποδώσειν, ἀλλὰ καὶ γράφει ἀφ' αὐτῶν δοῦναι. καί φησι - vel simile, quod non ubique cum vestigiis litt. congruit **4** vestigia in fin. v. incerta : καὶ antea : καὶ γὰρ Handley **10** vel ἅττα |vestigia in fine v. incerta. fortasse ταῦ|τα vel καὶ **12** 12 sq. vestigia valde incerta **17** αὐτοὺς μόνους cf. 144r 18 **18** ἂν ἀναλίσκειν Maehler **27** lit. prima magis lit. o similis |οὐχ vel οὐδ' |orator post pugnam Chaeronensem (i.e. post annum 335 a.Chr.) exules Thebanos adesse Athenis deplorat, libertatemque amissam luget. sententia in parenthesi ad quaestionem, quando oratio habita sit, alicuius momenti esse videtur **32** αὐτούς valde incertum

ὑ̣[μῶν αὐ]τῶν ὡς ἀδικοῦ̣ντων κατέγνωτε; Διώνδας δὲ ἐπειδὴ ἡ τύχη τὸ̣ν̣ ἀγῶνα οὐκ ἴσως ἐβράβευσεν, τὰς ἐ̣π̣ιβασί̣[ας] λαβὼν τῶι λόγωι τὰ ὑπὸ πάντων ὁμολογούμενα̣ μὴ καλῶς βεβουλεῦσθαι λοιδορεῖ, καὶ οὐκ αἰσθάνεται ὅ κ̣(αὶ) βλάπτει τὴν πόλιν. κ̣ράτιστον μέν γε πάντων, οἶ̣μαι, ἐστὶν τὸ νικᾶν, εἰ̣ δ' ἄρα συμβα̣ί̣νοι, ἀποτυχεῖν τοὺ̣ς περ[ὶ] τοιούτων ἀγωνιζο̣μένου̣ς οἵω̣νπερ ἡμεῖς. πο̣λλὰ δ' ἔχων παραδείγμα(τα) περὶ αὐτῶν λέγειν, τὰ μὲν τῆς πόλεως τῆς ἡμετέρας παραλείψω, ἐνίοτε γὰρ οἱ ἔπαινοι ἐξεταζόμενοι ἐν αὐτοῖς τούτ̣ο̣ι̣ς καθ' ὧν ἂν ὦσιν προσέσ̣τ̣η̣σ̣α̣ν̣ τοῖς ἀκούουσιν. ἀλλὰ σκέψασθε Λακεδαιμονί̣ο̣υ̣ς ὅτι ἐν μὲν Κορίνθωι μαχόμενοι ἐνίκω(ν), ἐν Θερμοπύλαις δὲ πάντες ἀπώλοντο. ἀ̣λ̣λ' ὅμως, τῆς μὲν νίκης αὐτῶν οὐδεὶς λόγ(ος), τὴν δ' ἧττ̣αν πάντες ἐγκωμιάζουσιν. διὰ τί; ὅτι τὴν μὲν ὑπὲρ τῆς αὐτῶν πλεονε̣ξίας πρός τινας διελεγχθέντες [ἐνίκησαν, ἐν τῇ δὲ] περὶ τῆς ἐλευθερίας τῶν Ἑλ[λή]ν̣ων ἀγωνιζόμενοι κατεκόπησαν ἅπαντε̣ς. ν̣υ̣νὶ δὲ ὁ κ̣α̣τ̣ήγορο̣ς περὶ τῶν ψηφισμάτων λόγους ποιεῖται τῶν πρ̣ὸ̣ τῆς μάχης γενομένων καὶ δ̣ι̣α̣βάλλει καί φησι δ̣εῖν αὐτῶν τὴν ταχίστην ἐπιλαθέσθαι. ἐγὼ δὲ τοῖς θεοῖς εὔχομαι ὧν νυνὶ ψηφιζόμεθα ἀπαλλαγῆναι ἡμᾶς ὡς τάχιστα κ̣(αὶ) ἐπιλαθέσθαι. τὰ μὲν γ(ὰρ) τοῖς τῶν προγόνων ψηφί̣σ̣μασιν ἀκόλουθά ἐστιν, τ̣ὰ̣ δ̣ὲ τοῖ̣ς Μεγαρέων καὶ Κ̣ορινθ̣ίων δόγμασιν· εἰ̣ς τ̣ο̣ῦ̣τ̣ο̣ δὲ ἥκει κακίας καὶ ἀπονοίας, ὥστε καὶ περὶ τῆς πολιτείας ἡμῖν κατηγορίας ποιεῖται. καίτοι, ὦ Διώνδα̣, εἰ βούλει ε̣ἰ̣δέναι σαφῶς, ποτέρους ἡμῶν οὗτοι ὑπολαμβάνουσιν βέλτιον πολιτεύεσθ̣α̣ι̣, ἐρώτησον αὐτῶν ἕκαστον, τίν(α) μάλιστα ἐν Μεγάροις μισοῦ̣σιν· ἀποκρίνονταί σοι, ὅτι Πτοιόδωρον, ἐν Ἐρετρίαι δὲ

**3** cf. Poll. II,200 καὶ ἐπιβασίαν τῇ δίκῃ Ὑπερείδης (fr. 242 Jn.) coll. Herrman **5** βλάπτει τὴν πόλιν cf. or. III. col. XXXVIII,7sq. **5** κράτιστον cf. Isocr. XII,25 **5** μέν γε cf. Pl. Resp. 559E **10** cf. Dem. LX,14 **11** ad vv. 11-18 cf. Isocr. XII,187sq. **12** cf. fr. 96 Jn. coll. Herrman **13** cf. Isocr. IV,168 **18** κατεκόπησαν cf. Reitzenstein ... coll. Todd **26** εἰς τοῦτο ἀπονοίας cf. or. II col. V,9 **32** cf. Dem. XVIII,295 XIX,295 Plut. Dio XVII

**5** καὶ ἡμ(ῶν) in initio v. tent. Handley **26** ΕΙΚΕΙ **32** ΠΥΟΔΩΡΟΝ

Ἵππαρχον καὶ Κλείταρχον, ἐν Ἄργει δὲ Μνασίαν, ἐν δὲ Μεγάλῃ πόλει Ἱερώνυμον καὶ Κερκιδᾶν. [καὶ μὲ]ṇ δ̣ὴ πάλιν ἐρώτησον ‘διὰ τί α̣ὐ̣τοὺς μισεῖτε;’ φήσ̣ειαν δ̣᾽ ἄν, διότι ἕκαστος αὐτῶν κατὰ τῆς ἑαυτοῦ πατρίδος ὑπὲρ Φιλίππου ἔπραττεν. εἶτ̣᾽ οἴει αὐτοὺς τοῖ̣ς μὲν ἔξω Φιλίππωι συναγωνιζομένοις πολεμεῖν, [τοὺς] δὲ ἐνθάδε ὑπὲρ ἐ̣κείνου λέγοντ(ας) εὔνους τῆι πόλει ὑπολαμβάνειν εἶναι; οὐκ ἔστι ταῦτα. ἀλλά, οἶμαι, τὰ πράγμα(τα) τῆι πόλει οὕτως νῦν περιέστηκεν, ὡς οὐκ ἃ-ν ἐβουλόμην. ἐπεὶ τίς̣ οὐκ ἂν ἀλγήσειεν, ὅταν ἐν τῇ̣ ἐκκλησίᾳ̣ ὑμῶν κ̇ελευόντων ἀπαλεῖψαί τι τῶν γεγραμμένων μὴ ἐθέλῃ Δημάδης̣, ἄλλ̣ο̣ γ̇ράψο̣υ̣σιṇ αὖ ὑμ(ῖν) φήσει ἀπ̣ι̣έναι ἐκ τῆς πόλεως, παρελ̇θὼν δέ τις τ̣ῶν κοινωνῶν αὐτοῦ εἴπῃ̣ ὅτι ὑμεῖς, [ὡ̣ς] ἂ̣ṇ ἔχῃ̣, ψηφιεῖσθε ταῦτα, ὅ̣πω̣[ς] ἂ̣ṇ δ̇ο̣υ̣λ̣ε̣ί̣α̣ṇ ὑ̣π̣ά̣γε̣ι̣ṇ ὑ-πὸ Δημάδου ἔχ̣ητε. τοῦτο γὰρ τῶν πάντων π̣α̣ρ̣α̣λ̣ογώ-τ̣α̣τόν ἐστιν, ὅτι ἐ̇ṇ μὲν τ̣ο̣ῖ̣ς ἔ̣μπ̣ροσθε[ν χρόνοις οἱ] ἰδιῶται, εἰκότως, οἶμ̣αι, ἐδεδ̇οίκ̣εσαν μὴ τιμ̣[ωρί]-αν ὑπὸ τοῦ δήμου ἔχωσι, νυνὶ δὲ τοὐναντίον· ὁ δῆμ(ος) ἐδέδιεν, μὴ ὑπὸ τῶν ἰδιωτῶν αἰτίαν λάβηι. [καὶ] γὰρ νῦν τὰ μὲν ἄλλα ἐ[ά]σω τῆς ἀσελγείας αὐτοῦ, ἔλεγε̣ δὲ ἐν τῆι πρῴ̣ην ἐκκλησίαι δεῖν ἡμᾶς τὴν Πάραλον πέμψαντας ὡς Ἀλεξάνδρον μέμφεσθαι αὐτῷ, ὅτι ὑστάτοις ὑμῖν ἐπέστειλεν περὶ τῶν τριήρων. ο̣ὕ̣τ̣ως δῆλον, ὅτι τὸ λοιπὸν πρώτοις ἡμῖν ἐπιτάττ[ει] καὶ ἃ [οὐ]δ᾽ ἀναγκαζομένους καλῶς ἔχει ποιεῖν, ταῦ(τά) [ἀ]γανακ̣[τ]εῖ, ε̣ἰ̣ μή, πρῶτοι ποιήσομεν. ἢ πάλιν, ἐπειδὰν Διών-δας ἐπὶ τῶν δικαστηρίων σεμνύνηται λέγων ὅτι πεντήκον(τα) γραφὰς ἐγράψατο, εἰ δέ τις αὐτὸν ἐ-ρωτήσαι· ‘ἔστιν οὖν ἥντινα τούτων ᾕρηκας;’, οὐδε-μίαν φανήσεται· οὔκουν ἀνάγκη ἐστὶν π̣[εντ]ή̣κον(τα) ἀγῶνας ἠγωνίσθαι κατὰ τῶν ἐν τῆι πόλει σ̣υμ-

**1** Ιππαρχος, Κλείταρχος cf. Dem. XVIII,71 et 81 et 295 **1** Μνασίας cf. or. V. col. XV,8sq. Μνησίαν |τὸν Ἀργεῖον **2** cf. Dem. XVIII,295 XIX,11 **5** 4 sq. cf. or. I. col. XXI,5 Dem. XVIII,320 Lyc. 126 **5** οἴει saepius apud Hyp. cf. or. I. col. XVII,2 or. III. col. XXV,3 **9** τὰ πράγμα(τα) τῆι πόλει ... περιέστηκεν cf. Dem. XIX,340 **9** ὡς οὐκ ἃ|ν ἐβουλόμην cf. 173v 27 **11** cf. Dem. XIX,159 **12** cf. Dem. XIX,160 **16** fortasse cf. Diod. XVII,15,3sq. ubi Demades Thebis captis συνβούλευε μὲν σώζειν τοὺς κινδυνεύοντας (sc. oratores Athenienses), παρανέγνω δὲ ψήφισμα γεγράμμενον φιλοτέχνως· περιεῖχε γὰρ παραίτησιν τῶν ἀνδρῶν καὶ ἐπαγγελίαν τοῦ κολάζειν κατὰ τοὺς νόμους, ἂν ὦσιν ἄξιοι τιμωρίας. ὁ μὲν οὖν δῆμος ἀποδεξάμενος τὴν ἐπίνοιαν τοῦ Δημάδου τό τε ψήφισμα ἐκύρωσε καὶ τὸν Δημάδην μεθ᾽ ἑτέρων ἐπέστειλε πρεσβευτὴν πρὸς τὸν βασιλέα, δοὺς ἐντολὴν καὶ περὶ τῶν Θηβαίων φυγάδων ἀξιῶσαι τὸν Ἀλέξανδρον συγχωρῆσαι τῷ δήμῳ τοὺς πεφευγότας Θηβαίους (cf. 173v 25sq.) ὑποδέχεσθαι. κτλ. **16** παραλογώ|τατον cf. Dem. XII,18 **17** cf. or. I. col. XXI,10 **20** αἰτίαν λάβηι cf. or. II. col. XIII,8 **22** de verbis sententiaque cf. Plut. Phoc. XXI, quod ad quaestionem, quando oratio habita sit (i.e. post annum 335 a.Chr., fortasse anno 335/334 vel 334/333 a. Chr.), permagni momenti esse videtur. Γράψαντος δὲ τοῦ Ἀλεξάνδρου περὶ τριήρων ὅπως ἀποστείλωσιν αὐτῷ, καὶ τῶν ῥητόρων ἐνισταμένων, τῆς δὲ βουλῆς τὸν Φωκίωνα λέγειν κελευούσης, ‘λέγω τοίνυν ὑμῖν’, εἶπεν ‘ἢ τοῖς ὅπλοις κρατεῖν ἢ τοῖς κρατοῦσιν φίλους εἶναι.’ et Plut. Mor. 188C et 847C et 848E. Cf. etiam Phot. Bibl. cod. 266 ἐπολιτεύσατο (sc. Hyperides) δὲ Ἀθήνησιν, ὅτε Ἀλέξανδρος ὁ Μακεδὼν τῶν ἑλληνικῶν ἥπτετο πραγμάτων, καὶ δείκνυται ἀντειπὼν αὐτοῦ τῇ αἰτήσει, ἥτις τοὺς στρατηγοὺς τῶν Ἀθηναίων καὶ τὰς τριήρεις ἀπῄτει. συνεβούλευσε δὲ τοῖς Ἀθηναίοις καὶ τὸ ἐπὶ Ταίναρον ξενικὸν διαλῦσαι. ἔγραψε δὲ καὶ Δημοσθένει τιμάς, καὶ γραφέντος ὑπὸ Διώνδα (cod. Διοδότου)παρανόμων τοῦ ψηφίσματος ἀπέφυγε. quod fortasse orationem non multo post epistulas Alexandri habitam esse affirmare videtur **23** Ἀλέξανδρος cf. 144v 31

**11** ΚΑΛΕΥΟΝΤΩΝ **14** vestigia in fin. v. valde incerta **15** δουλείαν cf. or. IV. fr. I,4 **15** ὑπάγειν post Handley, qui ἄγειν prop. **18** ΕΔΕΔΕΙΚΕΣΑΝ **20** ΔΕΔΕΙΕΝ **27** εἰ δὲ μή Lon **27** ποιήσομεν Handley, ποιήσωμεν in cod. **32** συμ|φερόντων sc. νόμων vel λόγων cf. e.g. Dem. XIX,183 XXIV,211

φε[ρόν]τ̣ω̣ν̣. ἔστι γὰρ [σ]υκοφάντου μὲν τὸ πολλοὺς π̣[ο]ι̣ῆ̣[σαι] ἀ̣γ̣ῶ̣ν̣α̣ς̣, πολίτ̣ο̣υ δ̣ὲ̣ δικαίου τὸ ἐξελέγχειν τοὺς ἐ̣ν̣ τ̣ο̣ῖ̣ς̣ δι[καστηρίοι]ς. σ̣ὺ δὲ τοῦ νόμου ἀπαγορεύοντος μηδ[ένα̣] π̣ρ̣ο̣σ̣ιέ̣ν̣α̣ι̣ π̣ρ̣ὸ̣ς̣ τ̣ὰ̣ δικαστήρια πρὶν ἂν τρ̣ι̣ά̣κ̣οντα ἔτη γένηται, πρὶν πέντε καὶ εἴκοσι ἔτη σοι γενέσθαι, διπλασίας αὐτῶν γραφὰς ἀπενήνοχας, καὶ ταῦ(τα) ἑτέροις ὑπηρετῶν, ὡ̣ς̣ α̣ὐ̣τοὶ μὲν οὐ τολμῶσιν γράφεσθαι, ἵνα μ̣ὴ̣ φάνεροι ὦσιν, τῆι δὲ σῆι προπετείαι καταχρῶνται. καὶ ὑπὲρ τούτω(ν), ὦ ἄνδρες δικασταί, φα̣ν̣ερῶς ᾤετο δεῖν τοὺς μισθοὺς κομίζεσθαι. ὅτε γ̣ὰ̣ρ̣ Φίλ̣ι̣π̣π̣ο̣ς̣ ἐκέλευεν ἡμᾶς εἰς τὸ σύνταγμα πέμπειν ἑ̣ξακοσίους στρατιώτας καὶ ἑ̣ξήκον(τα) ἱππέας, Διώνδας τούτων ἐθελόντης ἦν κ̣α̣ὶ̣ ἔλαβεν τό τε ἐκ τῶν δημοτῶν ἀργύριον καὶ τὸ παρὰ τῆς πόλεως, καί φησιν εὔνους εἶναι τῶι δήμωι, ὃς αὐτὸν προσέταξεν τῶν στρατιωτῶν εἶναι, οὓς ὁ δῆμος [Φιλίππωι] ἔ[π]εμπεν. καὶ ε̣ἰ̣ ἐγένετο ἡ στρατεία· [ἀπο]λιπὼν ἂν τοὺς κατ' ἐμοῦ ἀγῶνας, οὕς φησιν ὑπὲρ ὑμῶν [γ]εγράφ̣θ̣αι, ᾤχετο ἂν πρὸς Φίλιππον πάλιν παρ' ἐκείνου καρπούμενο(ς) ὧν ἐνθάδε ὑπὲρ αὐτοῦ ἠγωνίζετο. λογίσασθε δέ, ὦ ἄνδρες δικασταί, διὰ τί, ἂν τούτῳ πιστεύσαντες ἐμοῦ καταψηφίσησθε· ὅ̣τ̣ι καὶ πρότερον πώποτε ἔδοξέ τ̣ι̣ λέγειν; ἀλλ'εἰ παρ' ὑμῖν συκοφάντης ὢν ἐλέγχετ̣α̣ι; ἀλλὰ - νὴ Δία - οἱ οἰκεῖοι ὁμογνώμονες αὐτῶι εἰσιν ο̣ἷ̣ς̣ πράττ̣ε̣ι̣; ἀλλὰ τοὺς μὲν ἄλλους ἐάσω, ὁ δὲ π̣(α̣)τ̣ή̣ρ αὐτοῦ ἐ̣π̣ὶ̣ ἁ̣πάντων τῶν ἀγώνων κα̣ὶ̣ π̣ρ̣ὸ̣ς̣ τ̣α̣ῖ̣ς̣ ἀνακρίσεσιν δεῖται αὐτοὺς παύσασθαι, καὶ οὐκ ἀρέσκειν αὐτῶι φησιν ἃ οὗτος πράττει, οὐδ' ἐθέλειν αὐτὸν πείθεσθαι αὐτῶι, ἀλλ' ὅμως ἐμοῦ κ̣α̣τηγόρει, ὅτι τοὺς δούλους τοὺς συναγωνιο̣ύ̣μενους τῶι δήμωι ἔγραψα ἐλευθέρους εἶναι ὑπὲρ ὧν πολ-

**4** δίκαζειν δ' ἔξεστιν τοῖς ὑπὲρ τριάκοντα ἔτη γεγονόσιν, ὅσοι αὐτῶν μὴ ὀφείλουσιν τῷ δημοσίῳ ἢ ἄτιμοί εἰσιν. Arist. A.P. LXIII,3 **11** 11}sq. (Φίλιππος) διατάξας δ' ἑκάστη πόλει τὸ πλῆθος τῶν εἰς συμμαχίαν στρατιωτῶν ἐπανῆλθεν εἰς τὴν Μακεδονίαν D.S. XVI,89 (Φωκίων) Δημάδου δὲ γράψαντος ὅπως ἡ πόλις μετέχοι τῆς κοινῆς εἰρήνης καὶ τοῦ συνεδρίου τοῖς Ἕλλησιν, οὐκ εἴα πρὸ τοῦ γνῶναι, τίνα Φίλιππος αὐτῷ γενέσθαι παρὰ τῶν Ἑλλήνων ἀξιώσει· κρατηθεὶς δὲ τῇ γνώμῃ διὰ τὸν καιρόν, ὡς εὐθὺς ἑώρα τοὺς Ἀθηναίους μεταμελομένους ὅτι καὶ τριήρεις ἔδει παρέχειν τῷ Φιλίππῳ καὶ ἱππεῖς, ... ἔφη ... Plut. Phoc. XVI auxilia singularum civitatum describuntur ... summa auxiliorum CC milia peditum fuere et equitum XV milia. Iustin. IX,5,4 orator numeros antea haud cognitos de auxilio Atheniensium profert **31** 31 sq. ὅτε γὰρ Ὑπερείδης ἔγραψε, τῶν περὶ Χαιρώνειαν ἀτυχημάτων τοῖς Ἕλλησι γενομένων, καὶ τῆς πόλεως ὑπὲρ αὐτῶν τῶν ἐδαφῶν εἰς κίνδυνον μέγιστον κατακεκλειμένης, εἶναι τοὺς ἀτίμους ἐπιτίμους, ἵν' ὁμονοοῦντες ἅπαντες ὑπὲρ τῆς ἐλευθερίας προθύμως ἀγωνίζονται, ἐάν τις κίνδυνος τηλικοῦτος καταλαμβάνῃ τὴν πόλιν, τούτου τοῦ ψηφίσματος γραφὴν παρανόμων ἀπενέγκας ἠγωνίζετ' ἐν τῷ δικαστηρίῳ. [Dem.] XXVI,11 cf. Lyc. Leocr. 41 Plut. Vita X Or. 849A Hyp. fg. 27-39 Jn.

**2** 2 sq. vestigia in fin. vv. valde incerta : ἐπ' vel ἐν ἴσοις δικαζομένους prop. Handley **4** cf. Xen. Ath. III,3 litt. valde incertae, sententia autem perspicua est. orator dissimulare temptat, quod lex de iudicando differt a facultate rogationis (modo aetatis) **8** antea ἂν JH **15** pronomen reflexivum prop. Handley **17** 17}sq. haec sententia clare indicat inter rogationem et causam actam nonnullos annos elapsos esse. Diondas rogationem Philippo vivente tulit, sed causa post mortem regis acta est, anno fortasse 335/334 a. Chr. (cf. app. ad Fol. 174v 24). cf. or. V. contra Philippidem, et causam simillimam Demosthenis de corona **32** πολ-λάκις ἔλεγον, ἐπεσκότει μοι τὰ Μακεδόνων ὅπλα. οὐκ ἐγὼ τὸ ψήφισμα ἔγραψα, ἡ δ' ἐν Χαιρωνεία̣ μάχη ita (vel πολλάκις κατηγορούμενος ἦν) versus primus folii sequentis deperditi fortasse restitui secundum fr. 28 Jn. potest

τοῦ μὲν εὑρίσκοντος ἐν τῷ δικαστηρίωι μὴ ἔλαττον ἢι τοῖς παισίν· ἐὰν δὲ πλείω περιποιήσωσιν τοῖς παισίν, τούτων εἴη φιλοτιμί(α). αὐτοῖς δὲ τοὺς ἐπιτρόπους ἀπαγορεύουσιν οἱ νόμοι μὴ ἐξεῖναι τὸν οἶκον μισθώσασθαι· ἔξεστι δ'{ὲ} ἐν τῷ δικαστηρίῳ ἀμφισβητῆσαι μὴ ἄμεινον εἶναι τὸν οἶκον μισθῶσαι τῶ(ν) παίδων, ὑμῶν δὲ τοὺς λαχόντας δικάζειν ἀκούσαντας ψηφίσασθαι ἃ ἂν δοκῇ βέλτιστα εἶναι τῷ παιδί. καί μοι λέγε τούτους τοὺς νόμους. – ΝΟΜΟΙ – τούτων τοίνυν οὗτ(ος) οὐδὲν ἐποίησεν οὐδ' ὅλως ἀπέγραψεν τὸν οἶκον πρὸς τὸν ἄρχον(τα). καί μοι λαβὲ τὴν μαρτυρίαν. – ΜΑΡΤΥΡΙΑ – ὅτι μὲν τοίνυν οὐ κατὰ τοὺς νόμους τὴν οὐσίαν τὴν Ἀκαδήμου τουτουΐ διεχείρισε Τίμανδρ(ος) οὑτοσί ἀκηκόατε τῶν νόμων, καὶ τῶν μαρτύρων ὅτι οὔτε ἐμίσθωσε τὸν οἶκον, ἑτέρου φήναντ(ος), ἵν(α) μισθωθῇ, ἐκώλυσεν· ὅτι δὲ ταῦ(τα) ἵνα διαφορήσῃ τὰ χρήμα(τα), οὑτωσὶ ἐποίησε, νὴ Δία, τοῦτο δείξω καὶ γὰρ διὰ τὰ χρήμα(τα) καὶ εἰς τὴν ἀδελφὴν τουτουΐ θανάτου ἄξι(α) ἠδίκηκεν· καταλειφθέντων γὰρ τουτωνὶ δυοῖν ἀδελφοῖν καὶ ἀδελφαῖν δυοῖ νὀρφααῖν καὶ μητρὸς καὶ π(ατ)ρ(ὸ)ς καὶ παιδαρίων πάντων ὄντων - ἴσως γὰρ ὁ πρεσβύτατ(ος) ἀδελφ(ὸς) Ἀντίφιλος ὁ τελευτήσας ἦν δέκα ἐτῶν - τὴν νεωτέραν αὐτῶν ἀδελφὴν ἀποσπάσας οὑτοσὶ Τίμανδρος ἔτρεφε παρ' αὑτῷ ἀποκομίσ(ας) εἰς Λῆμνον ἴσως οὖσαν ἑπτὰ ἐτῶν. καίτοι τοῦτο μὴ ὅτι ἐπίτροπ(ος) ἢ εὔνους <ἂν>ἄν(θρωπ)ος ποιήσαι, ἀλλ' οὐδ' οἱ κατὰ πόλεμον ἐγκρατεῖς γιγνόμενοι τ(ῶν) σωμάτων, ἀλλὰ καὶ κατ' οἰκίαν πωλοῦσιν ὅτι μάλιστα. οἱ τοίνυν ἀνδραποδοκάπηλ(οι) καὶ ἔμποροι κέρδους ἕνεκα πᾶν πράττοντες ἀσελγ[ές],

**1** τοῦ εὑρίσκοντος cf. Aeschin. I,96 (Tchern) **14** Ἀκάδημος cf. LGPN II s.v. no. 1 et PA 460 **14** Τίμανδρος cf. LGPN II s.v. no. 1 vel 3 **16** cf. Harp. φ 7 s.v. φάσις· ... λέγεται δὲ καὶ ἐπὶ τῶν ὀρφανικῶν οἴκων. ὅτε γὰρ μὴ ἐκμισθώσαιεν οἱ ἐπίτροποι τὸν οἶκον τῶν ἐπιτροπευομένων, ἔφαινεν αὐτὸν ὁ βουλόμενος πρὸς τὸν ἄρχοντα, ἵνα μισθωθῇ· ἔφαινε δὲ καὶ εἰ ἐλάττονος ἢ κατὰ τὴν ἀξίαν μεμίσθωτο. **19** cf. Men. Dysc. 292 sq. πρᾶγμα θανάτων ἄξιον / πολλῶν **20** cf. Suda π 847 s.v. παιδάριον· οὐ μόνον ἐπὶ τῶν ἀρρένων κέχρηνται τῷ ὀνόματι οἱ ῥήτορες, ἀλλὰ καὶ ἐπὶ παρθένων. Ὑπερίδης ἐν τῷ πρὸς Τίμανδρον· καταλλαχθέντων γὰρ τούτων δυοῖν ἀδελφοῖν καὶ δυαῖν ἀδελφαῖν ὀρφαναῖν καὶ πρὸς πατρὸς καὶ μητρὸς καὶ παιδαρίων παίδων. huc rettulit Tchern. **24** Ἀντίφιλος abest in LGPN **27** εἰς Λῆμνον cf. Harp. η 19 s.v. Ἡφαιστία· Ὑπερείδης ἐν τῷ ὑπὲρ Ἀκαδήμου. ὅτι δὺο πόλεις ἦσαν τῆς Λήμνου, Μύρινά τε καὶ Ἡφαιστία. (fr. 3 Jn.)

**1** μὴ ἔλαττον ᾖ Wilson **3** τούτων ἂν εἴη Handley **10** scriba spatium quinque litt. in fin. v vacuum reliquit propter defectum membr., ubi antea cum stylo materiam perforavit lacunamque creavit **14** ΔΙΕΧΕΙΡΗΣΕ **16** τε Handley **18** Meszaros post ἐποίησεν ἢ διὰ τοῦτο Maehler **21** ἀδελφαῖν δυοῖν : δυαῖν ἀδελφαῖν Sud. **22** καὶ μητρὸς καὶ πατρὸς : καὶ πρὸς πατρὸς καὶ μητρὸς Sud. **23** πάντων : παίδων Sud. **32** orator hic atque in sqq. plus clementiae latronibus quam Timandro adversus orphanos inesse arguit

[ἃ]ν̣ ἀδελφὰ π̣α̣ιδάρι(α) πωλῶσιν ἢ μ̣η̣τ̣έρα καὶ παιδία
ἢ πα(τέρ)α̣ [καὶ π]αιδ̣άρ̣ι(α) ἐ̣σ̣τ̣ῶ̣σ̣ι̣, ζημ[ι]ούμενο̣ι̣ ἐλάττονος
ἀ̣[πο]δίδον̣τ̣α̣ι̣ [αὐτ]ῷ ν̣ τι το̣ῦ̣τ̣ο̣ τῶν δικαίω(ν) ὄν. αἱ γ(ὰρ)
εὔνοιαι τ̣ο̣ῖ̣ς̣ ἀνθρώπο̣ις εἰσὶ διὰ τὴ̣ν̣ συνήθει-
α[ν] κ̣αὶ τὸ συντρόφους αὐτοὺς εἶναι μ̣ᾶλλον ἢ δ̣ι̣-
ὰ̣ τ̣ὰ̣ς σ̣υ̣γγενείας. τεκμήριον δὲ τούτ̣ο̣υ̣· οὔτε γὰρ
ἂ̣ν π̣(ατέ)ρ(ε)ς̣ [το]ὺ̣ς̣ α̣ὐ̣τ̣ῶ̣ν̣ π̣α̣ῖ̣δα̣ς ἀ̣σπάσ̣αι̣ντο, εἰ μὴ [ἐπ']αὐ-
τοῖς ἐκ̣ π̣α̣ιδαρ̣ί̣ων τ̣ρ̣α̣φεί̣σαν, εἰ εὐθύς τις αὐ-
τῶ̣ν μικρ̣ὰ̣ὄ[ν](τ̣α̣) ἀ̣π̣ο̣σ̣πά̣σαι, οὔτε [ο]ἱ̣ παῖδες το̣ὺ̣ς
γ̣ο̣νέας εἰ μὴ ὑπ' ἐκείνω̣ν̣ τ̣ραφείησαν. Τί-
μανδρος τοίνυν τούτου α̣ὐ̣τοῦ γ̣ε̣ αἴτιος γέγον(εν),
ὥστε τ̣ὰς μὲν ἀδελφὰς ἀλλήλας μὴ ἀναγνῶνα̣ι̣
μήτε ἐν ὁ̣δ̣ῷ̣ μήτε ἐν ἱ̣ε̣ρ̣ῷ̣ ἰδούσας - πλεόν-
ω̣ν̣ γ(ὰ̣ρ̣) ἐτῶν ἢ τριῶν καὶ δέκα οὐχ ἑωράκασιν
ἑαυτάς -, τὸν δὲ ἀδελφὸν τουτονὶ Ἀκάδημον
ἀναγνωρίσαι τὴν ἑαυτοῦ ἀδελφήν, ἐλθόν(τα)
δὲ̣ ε̣ἰ̣ς̣ Λ̣ῆ̣μ̣ν̣ο̣ν̣ μὴ γ̣ν̣ῶ̣ναι ἰδόν(τα). καί̣τ̣ο̣ι̣ ὁ̣ ν̣ο̣μ̣ο̣-
θέτ̣η̣ς τοὺς παῖδας τοὺς ὀρφανοὺς οὐ χωρὶς ἕ-
καστον τρέφεσθαι ᾠήθη{ν} δ̣εῖν, οὐδ' ὅπ̣ως ἂν τύ-
χωσιν, ἀλλ' ὅπου ἂν ἄριστα [με]λ̣λ̣ῶ̣σ̣[ι] τ̣ρέφεσθαι.
καί μοι λέγε τὸν νόμον. – ΝΟΜΟΣ –
εἰ τοίνυν παρά σοι εὖ ἐτρέφετο, ὦ Τίμανδρε, ἡ μία,
διὰ τί οὐ κα̣ὶ̣ ο̣ὗτοι εὖ ἐτρέφοντο παρά σοι καὶ ἐν
τῶι αὐτῶιÍž εἰ δ' οὗτοι εὖ, διὰ τί οὐχὶ καὶ ἐκείνη
εὖ καὶ ἐν τῷ αὐτῶι τοῖς ἀδελφοῖς καὶ τῆι ἀδελ-
φῆι τῆι πρεσβυτέραιÍž ἀλλ' οἶμαι ἡ τῶν χρημά-
των ἐπιθυμί(α) ταῦτα πάντα παρανομεῖν ἐποίει.
τοιγαροῦ̣ν̣ ἐκ πένητ(ο̣ς̣) ἐπιτροπεύσας Ἀκάδημο(ν)
τουτονί, ἐκ τῶν τούτου πλέον ἢ πέντε τ̣αλάν-
των οὐσίαν ἔχει, ὡς ὑμῖν ἐπιδείξω· πρῶτ(ον)
μ̣ὲ̣ν̣ γὰρ εὐθὺς τῶι πρώτωι ἐν̣ιαυτῶι ὡ̣(ς)<ὁ>π̣(ατὴ)ρ α̣ὐ̣τῶ(ν)
ἐ̣τ̣ε̣λ̣ε̣ύ̣τησεν τήν τε παιδίσκην ἔλαβεν καὶ πέντε

**2** post ἑστῶσι signum valde incertum. de usu transitivo cf. or. III. col. XXXVIII,24 sq.καθέστακα, quod Cobet delevit Lightfoot emendavit (κατέστασα) Jensen tamen retinuit **2** ἐλάττονος |ἀποδίδονται sc. accidit, ut venalicii minoris vendant quam emerint **3** ὡς ἄν τι coni. Handley : ὡς ἕν τι Carey **4** fortasse τὰς συνηθείας Maehler **7** ἂν τοὺς Maehler : ἂν πᾶσαι antea **7** ὑπ' αὐ|τῶν antea haesitanter coll. v.10 : %τ% α υ prop. Maehler : [παρ']αὐ|ταῖς antea, quod spatium non capit : [παρ'] αὐ|τοῖς coni.Handley : fortasse ἐν αὐ|τοῖς **8** lit. ultima in αὐ|τῶν magis lit. σ similis **9** vestigia valde incerta : ΑΠΟΣΠΑΣΑΣ : antea ἴο[ι] vel ἔχοι vel ἄγοι ἀποσπάσας coll. Plut. Cam. XV,6 Eur. Hel. 413, quod spatium non capit **9** malim ἂν παῖδες **10** inter litt. γο et νεας in initio v. spatium quinque litt. cf, app. ad 138r10 **14** δώδεκα ἐτῶν coni. Austin **14** ΟΥΚ **20** antea coni. Handley **24** διὰ τί οὐκ ἂν Tchern. **27** vel ἐπιθυμία αὐτῷ πάντα **28** Handley